## ΚΕΦ. Ε.

(*) Τοῦ μὲν οὖν εἰδέναι [εἰ] τὰ τοῦ ἀνδρὸς ἀναίτια, ἔστι μὲν καὶ ἄλλα σημεῖα λαβεῖν· ἃ δὲ ῥᾷω μάλιστα, [εἰ] φαίνοιτο πρὸς ἄλλας πλησιάζων καὶ γεννῶν· τοῦ δὲ πρὸς ἀλλήλους μὴ συνδρόμως ἔχειν, [εἴ γε] πάντων τῶν εἰρημένων ὑπαρξάντων οὐ γεννῶσιν· δηλοῖ γὰρ ὅτι τοῦτο αἴτιον μόνον. Εἴπερ γὰρ καὶ ἡ γυνὴ συμβάλλεται εἰς τὸ σπέρμα καὶ τὴν γένεσιν, δῆλον ὅτι δεῖ ἰσοδρομῆσαι παρ' ἀμφοῖν. Ἐὰν οὖν ὁ μὲν ταχὺ ἐκποιήσῃ, ἡ δὲ μόλις (τὰ γὰρ πολλὰ αἱ γυναῖκες βραδύτεραι), τοῦτο κωλύει· διὸ καὶ συζευγνύμενοι οὐ γεννῶσι μετ' ἀλλήλων, γεννῶντες δηλαδὴ, ὅταν ἐντύχωσιν ἰσοδρομοῦσι πρὸς τὴν συνουσίαν. Εἰ γὰρ ἡ μὲν ὀργῶσα καὶ παρεσκευασμένη εἴη καὶ ἐννοίας ἔχουσα ἐπιτηδείας, ὁ δὲ προλελυπημένος καὶ κατεψυγμένος, ἀνάγκη τότε ἰσοδρομῆσαι αὐτοὺς ἀλλήλοις.

## ΚΕΦ. ϛ.

Φανερὰ δὲ τὰ ζῷά ἐστιν, ὅταν ὀχευθῆναι δέηται· διώκει γὰρ τὰ ἄρρενα, οἷον αἱ ἀλεκτορίδες διώκουσι καὶ ὑφιζάνουσιν αὑταὶ, ἐὰν μὴ ὀργᾷ ὁ ἄρρην. Τοῦτο δὲ ποιεῖ καὶ ἄλλα ζῷα. Εἰ δὴ ταὐτὰ πάθη πᾶσι τοῖς ζῴοις φαίνεται ὄντα περὶ τὴν συνουσίαν, δῆλον ὅτι καὶ τὰ αἴτια [τὰ] συμβαίνοντα. Ἀλλὰ μὴν ἥ γε ὄρνις οὐ μόνον τοῦ λαβεῖν ἐπιθυμίαν ἔχει, ἀλλὰ καὶ τοῦ προέσθαι. Σημεῖον δὲ τούτου· ἐὰν γὰρ μὴ παρῇ ὁ

1. Εἰδέναι] εἶναι = Ἀναίτια] αἴτια. — 2. Μάλιστ' ἂν φαίνοιτο Bk. — 3. Τοῦ δὲ] τὸ δὲ. — 9-10. Διὸ καὶ συζευγνύμενοι γεννῶσι μετ' ἀλλήλων, οὐ γεννῶντες δὲ, ὅταν Bk.

(*) C'est le commencement du 5[e] chap. chez Bk.